10 ταραχὴ ἐν αὐτοῖς ἐν τῇ ἡμέρᾳ Αἰγύπτου, ὅτι ἰδοὺ ἥκει. — [10]τάδε
λέγει κύριος κύριος Καὶ ἀπολῶ πλῆθος Αἰγυπτίων διὰ χειρὸς Να-
11 βουχοδονοσορ βασιλέως Βαβυλῶνος, [11]αὐτοῦ καὶ τοῦ λαοῦ αὐτοῦ·
λοιμοὶ ἀπὸ ἐθνῶν ἀπεσταλμένοι ἀπολέσαι τὴν γῆν καὶ ἐκκενώσου-
σιν πάντες τὰς μαχαίρας αὐτῶν ἐπ᾽ Αἴγυπτον, καὶ πλησθήσεται ἡ
12 γῆ τραυματιῶν. [12]καὶ δώσω τοὺς ποταμοὺς αὐτῶν ἐρήμους καὶ
ἀπολῶ τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῆς ἐν χερσὶν ἀλλοτρίων· ἐγὼ
13 κύριος λελάληκα. — [13]ὅτι τάδε λέγει κύριος κύριος Καὶ ἀπολῶ
μεγιστᾶνας ἀπὸ Μέμφεως καὶ ἄρχοντας ἐκ γῆς Αἰγύπτου, καὶ οὐκ
14 ἔσονται ἔτι. [14]καὶ ἀπολῶ γῆν Παθουρης καὶ δώσω πῦρ ἐπὶ Τάνιν
15 καὶ ποιήσω ἐκδίκησιν ἐν Διοσπόλει [15]καὶ ἐκχεῶ τὸν θυμόν μου
ἐπὶ Σάιν τὴν ἰσχὺν Αἰγύπτου καὶ ἀπολῶ τὸ πλῆθος Μέμφεως·
16 [16]καὶ δώσω πῦρ ἐπ᾽ Αἴγυπτον, καὶ ταραχὴν ταραχθήσεται Συήνη,
17 καὶ ἐν Διοσπόλει ἔσται ἔκρηγμα καὶ διαχυθήσεται ὕδατα. [17]νεανίσκοι
Ἡλίου πόλεως καὶ Βουβάστου ἐν μαχαίρᾳ πεσοῦνται, καὶ αἱ γυ-
18 ναῖκες ἐν αἰχμαλωσίᾳ πορεύσονται. [18]καὶ ἐν Ταφνας συσκοτάσει
ἡ ἡμέρα ἐν τῷ συντρῖψαι με ἐκεῖ τὰ σκῆπτρα Αἰγύπτου, καὶ ἀπ-
ολεῖται ἐκεῖ ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς, καὶ αὐτὴν νεφέλη καλύψει,
19 καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀχθήσονται. [19]καὶ ποιήσω κρίμα
ἐν Αἰγύπτῳ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.
20 [20]Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ πρώτῳ μηνὶ ἑβδόμῃ
21 τοῦ μηνὸς ἐγένετο λόγος κυρίου πρός με λέγων [21]Υἱὲ ἀνθρώπου,
τοὺς βραχίονας Φαραω βασιλέως Αἰγύπτου συνέτριψα, καὶ ἰδοὺ
οὐ κατεδέθη τοῦ δοθῆναι ἴασιν τοῦ δοθῆναι ἐπ᾽ αὐτὸν μάλαγμα
22 τοῦ δοθῆναι ἰσχὺν ἐπιλαβέσθαι μαχαίρας. [22]διὰ τοῦτο τάδε λέγει
κύριος κύριος Ἰδοὺ ἐγὼ ἐπὶ Φαραω βασιλέα Αἰγύπτου καὶ συντρίψω
τοὺς βραχίονας αὐτοῦ τοὺς ἰσχυροὺς καὶ τοὺς τεταμένους καὶ
23 καταβαλῶ τὴν μάχαιραν αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ [23]καὶ διασπερῶ
24 Αἴγυπτον εἰς τὰ ἔθνη καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας· [24]καὶ

9 αυτοις] αιγυπτω A† || 10 κυριος κυριος (cf. 2 4)] αδωναι κυριος A: item in 13, cf. 5 5 || 11 απολεσαι την(>BQ†) γην] αφανισαι αυτην A pau.: cf. 14 34 25 | η γη / τραυμ.] tr. A || 12 και 2º B†] pr. και αποδωσομαι την γην εν χειρι πονηρων rel. (in *O* sub ※) | γην] + αυτων A | και το πληρωμα] συν τω πληρωματι A: ex 12 19 (cf. 32 15) | ελαλησα A || 13 κυριος κυριος: cf. 10 | απολω B†] + βδελυγματα και καταπαυσω rel. (in *O* sub ※) | αρχοντας Qpl.] + μεμφεως B†, + τανεως A (cf. 15) | ετι] ουκετι A | fin.] + και δωσω φοβον εν γη αιγυπτω (uel -του) A mu. (in *O* sub ※) || 14 απολω] αφανιω A: cf. 11 | παθουρης] φαθωρης B†, φαθουρης Q: cf. 29 14 || 15 σαιν] τανιν A†: ex 14, cf. 13 | το > A || 16 ταραχην B†] ν > rel. | ταρ. ταρ.] απολειται A | εκρηγμα] γ > BA*† || 17 εν 1º > A | αι — fin.] αι πολεις αιχμαλωτισθησονται A || 18 ταφνας (cf. Ier. 2 16 50 7. 8. 9)] -ναις B | της > B† | αυτην] ταυτην B || 21 κατεδεθη Qmu.] -δεηθη BA (+ μου A) | του δοθ. / επ αυτον] tr. A || 22 τεταμενους (sic BA, τεταγμ. Qmu.)] + και τους συντριβομενους AQpl. (in *O* sub ※) || 24 και 1º > A†